15 *Λέγεται δὲ καὶ Διονύσιον τραγῳδίαν ποιεῖν φαύλως πάνυ
καὶ γελοίως, ὥστε τὸν Φιλόξενον πολλάκις δι' αὐτὴν εἰς τὰς
λατομίας ἐμπεσεῖν οὐ δυνάμενον κατέχειν τὸν γέλωτα. οὗτος
τοίνυν πυθόμενος ὡς ἐγγελᾶται, τὸ Αἰσχύλου πυξίον εἰς ὃ
ἐκεῖνος ἔγραφε σὺν πολλῇ σπουδῇ κτησάμενος, αὐτὸς ᾤετο
ἔνθεος ἔσεσθαι καὶ κάτοχος ἐκ τοῦ πυξίου· ἀλλ' ὅμως ἐν αὐτῷ
ἐκείνῳ μακρῷ γελοιότερα ἔγραφεν, οἷον κἀκεῖνο τὸ*

*Δωρίδιον ἧκεν ἡ Διονυσίου γυνή.*

*καὶ πάλιν*

*οἴμοι, γυναῖκα χρησίμην ἀπώλεσα.*

*καὶ τοῦτο γὰρ ἐκ τοῦ πυξίου καὶ τὸ*

*αὑτοῖς γὰρ ἐμπαίζουσιν οἱ μωροὶ βροτῶν.*

*Τοῦτο μέν γε πρὸς σὲ μάλιστα εὐστόχως ἂν εἰρημένον εἴη
τῷ Διονυσίῳ, καὶ δι' αὐτὸ χρυσῶσαι αὐτοῦ ἔδει ἐκεῖνο τὸ πυξίον.
τίνα γὰρ ἐλπίδα καὶ αὐτὸς ἔχων εἰς τὰ βιβλία καὶ ἀνατυλίττεις
16 ἀεὶ καὶ διακολλᾷς καὶ περικόπτεις καὶ ἀλείφεις τῷ κρόκῳ καὶ
τῇ κέδρῳ καὶ διφθέρας περιβάλλεις καὶ ὀμφαλοὺς ἐντίθης, ὡς
δή τι ἀπολαύσων αὐτῶν; πάνυ γοῦν ἤδη βελτίων γεγένησαι διὰ
τὴν ὠνήν, ὃς τοιαῦτα μὲν φθέγγῃ—μᾶλλον δὲ τῶν ἰχθύων ἀφωνό-
τερος εἶ—βιοῖς δὲ ὡς οὐδ' εἰπεῖν καλόν, μῖσος δὲ ἄγριον, φασί,
παρὰ πάντων ἔχεις ἐπὶ τῇ βδελυρίᾳ· ὡς εἰ τοιούτους ἀπειργάζετο
τὰ βιβλία, φυγῇ φευκτέον ἂν ἦν ὅτι πορρωτάτω ἀπ' αὐτῶν. δυοῖν
17 δὲ ὄντοιν ἅττ' ἂν παρὰ τῶν παλαιῶν τις κτήσαιτο, λέγειν τε
δύνασθαι καὶ πράττειν τὰ δέοντα ζήλῳ τῶν ἀρίστων καὶ φυγῇ
τῶν χειρόνων, ὅταν μήτε ἐκεῖνα μήτε ταῦτα φαίνηταί τις παρ'
αὐτῶν ὠφελούμενος, τί ἄλλο ἢ τοῖς μυσὶ διατριβὰς ὠνεῖται καὶ
ταῖς τίλφαις οἰκήσεις καὶ πληγὰς ὡς ἀμελοῦσι τοῖς οἰκέταις;*

*Πῶς δὲ οὐ κἀκεῖνο αἰσχρόν, εἴ τις ἐν τῇ χειρὶ ἔχοντά σε
18 βιβλίον ἰδών—ἀεὶ δέ τι πάντως ἔχεις—ἔροιτο οὗτινος ἢ ῥήτορος
ἢ συγγραφέως ἢ ποιητοῦ ἐστι, σὺ δὲ ἐκ τῆς ἐπιγραφῆς εἰδὼς*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416025234/138 UNIVERSITÄT LEIPZIG